1. Miguel de **Ledesma**, *Graecarum Institutionum Compendium* (296vv), **Valencia 1545**, 98v-99r
*Cento Homericus de Christi Passione* (Christus moriens ad Deum Omnipotentem)

| | |
|---|---|
| "Ὦ πάτερ οὐράνιε χρυσοθρόνε, αἰθέρι ναίων, | Polit. epig. 9.1 ("Pater noster") |
| ὦ πάντων βασιλεῦ, Θεὸς ἄφθιτε, πάντα νοήσας, | Polit. epig. 9.2 (sed αἰθέριε Πάν in claus.) |
| πάντα ζωογονῶν, σῷ πάντα πνεύματι πληρῶν, | Polit. epig. 9.8 |
| γῆν ἐς Ἰουδαίων παρὰ σοῦ, ὡς μοῖραν ἐπίσπω, | ≈ Il. 2.359 |
| πέμφθην, ὡς σμήξω γ᾽ὁρμήματά τε στοναχάς τε | Il. 2.356 (de Helena: hic de Eva!) |
| πρώτης μητρός. νῦν πρώφρων ὡς πάντ᾽ἐτέλεσσα | |
| δέρκεις, χ᾽ὡς ἔπαθον δὴ μὴ πάθε ἃ βροτὸς ἄλλος, | ≈ Il. 24.509 (Priamus ad Achillem) |
| τυπτόμενος κολάφοις, ὀξέσσι πεπαρμένος ἥλοις, | Il. 1.246 |
| μάστιγι κοπτόμενος, ληστής νυ ὀλέθριος ὥσπερ | |
| τῷ σταυρῷ τε παγείς, σοῦ ὥς τε τελείω ἐφετμήν. | ≈ Gr. Naz. 1366.8 ≈ Nonn. Par. 14.79 |
| Νῦν γὰρ ἀποθνήσκω, ὡς ῥήματα πάντα τελεῖται. | ≈ Or. Sib. 3.364 (θέσφατα) |
| Λάμβανε γοῦν τήνδε ψυχήν, πάτερ ὦ γλυκύς, υἱοῦ, | |
| λάμβανε, ἥν γε ἔδωκα ὑπὲρ τοῦ πταίσματος ἀνδρός, | |
| λάμβανε, καὶ σὺ τέοις πρώφρων ἐπὶ κάτθεο κόλποις." | ≈ Musae. 271, Nonn. Dion. 9.61 |
| Ὣς ἄρα τὸν λέξαντα τέλος θανάτοιο κάλυψε. | Il. 16.502 |
| Τὸν δ᾽ἔλιπε ψυχή, κατὰ δ᾽ὀφθαλμοὺς κέχυτ᾽ἀχλύς. | Il. 5.696 |
| ὡς θάνε μὲν τὰ πρῶτα Πατὴρ ἀνδρῶν τε θεῶν τε | saep. Il., etiam Hes. th. 838 |
| σκληρόν δε βρόντησε καὶ οὐρανὸς εὐρὺς ὕπερθεν | Hes. th. 839-40 (Iuppiter vs. Typhoeum) |
| πόντος τ᾽ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης, | Hes. th. 841 |
| ποσσὶ δ᾽ὑπ᾽ἀθανάτοισι μέγας πελεμίζετ᾽Ὄλυμπος | Hes. th. 842 |
| τεθνειῶτος ἄνακτος, ἐπεστενάχιζέ τε γαῖα | Hes. th. 843 (ὀρνυμένοιο) |
| ἔσσυτο πάντη πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα | Hes. th. 847 |
| θῦε δ᾽ἀρ᾽ἀμφ᾽ἀκτάς περὶ δ᾽ἀμφί τε κύματα μακρὰ | Hes. th. 848 |
| ποτμῷ ὑπ᾽ἀθανάτῳ, ἔνοσις κ᾽ἄσβεστος ὀρώρει, | Hes. th. 849 |
| τρέσσε δ᾽Ἄρης νεκροῖσι καταφθιμένοισι ἀνάσσων. | Hes. th. 850 |
| Νὺξ μεγάλη πᾶσι, σκιόοντό τε πᾶσαι ἀγυιαὶ | Od. 2.388 |
| ἤματος ἐν μέσσῳ, καὶ ἔτρεμε χέρματα πάντα. | Or. Sib. 1.375, 8.305 (de re) |

2. Seb. **Castellio**, *Ionas Propheta heroico carmine Latino descriptus* (1350+ vv),**Basel 1545**,p. 83
*Πρόδρομος sive Praecursor*: Salome cum capite Ioannis

| | |
|---|---|
| ὣς φάτο καὶ κεφαλὴν μετὰ χερσὶ λαβοῦσα προσηύδα· | HHomCer 378 |
| "μάντι κακῶν, οὐ πώποτέ μοι τὸ κρήγυον εἶπες. | Il. 1.106 |
| αἰεί τοι τὰ κακ᾽ἔσκε φίλα φρεσὶ μαντεύεσθαι, | Il. 1.107 |
| ἐσθλὸν δ᾽οὐδέ τι πω εἶπας ἔπος, οὐδ᾽ἐτέλεσσας, | Il. 1.108 |
| καὶ πρωῒ βασιλῆϊ θεοπροπέων ἀγόρευες | Il. 1.109 |
| ὡς δὴ τοῦδ᾽ἕνεκα νῶιν θεὸς ἄλγεα τεύξει, | Il. 1.110 |
| οὕνεκα μ᾽Ἡρώδης κατέχει, τὸν ἀδελφὸν ἀπούρας. | |
| ἤτοι σὺ μὲν καλά, πατὴρ ὥς, κήδεο νῶιν, | Od. 17.397 |
| μάντι κακῶν, νῶϊ μὲν ἔτι χαίροντε βιῶμεν, | |
| σὺ δὲ κακῶν αὐτῷ μάντις τε καὶ αἴτιος ἦσθα· | |
| νῦν γὰρ μαντεύσων νεκροῖς ἄϊδοσδε βεβήκεις. | Od. 3.410 |
| ἆ δεῖλ᾽, οὐ μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ | Il. 11.452 |
| ὄσσε καθαιρήσουσι θανόντι περ, ἀλλ᾽οἰωνοὶ | Il. 11.453 |
| ὠμησταὶ ἐρύουσι περὶ πτερὰ πυκνὰ βαλόντες". | Il. 11.454 |
| ὡς φάτ᾽ἐπευχομένη, τάδε δ᾽οὐ τελέεσθαι ἔμελλεν. | HHomAp 370 Il. 2.36 |
| οἱ γὰρ Ἰωαννέω πιστοὶ θεράποντες, ἐπειδὴ | |
| αὐτοῦ πότμον ἄκουσαν, ἔβαν καὶ σῶμα λαβόντες | |
| θάψαν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες. | Od. 12.12 |

3. Paulus **Dolscius**, *Εἰς τὰ σταυρωτήρια Ἰησοῦ...* (236vv), **Lipsia 1554**, c. A4r-4v

| | |
|---|---|
| κεὶς τόπον ἐρχόμενοι ὅθι πύθετο κράατα ὄμβρῳ, | Od. 1.161 |
| γόμφοισιν σταυρῷ πρός μιν ἔπηξαν ἑῷ | |
| τούς τε πόδας κέντροις παλάμας τε πεπαρμένον ἥλων | Nonn. par. 19.95 |
| ἐκταδὸν ὕψωσαν τοῦ θανάτοιο λαχεῖν. | Nonn. par. 19.117 |
| αὐτὸς δ᾽ ἀνσχόμενος τάδε πάντα τετληότι θυμῷ | Od. |
| πείθετο οὐρανίου τῇ ἰότητι πατρός. | Hom. |
| ... | |
| "αὐτόθι τετμέμεναι γὰρ μέλλετε, οἷα προφητῶν | |
| γλῶσσα θεανθρώπου θέσφατ᾽ἀνεῖπε πέρι, | |
| αὐδῶσ᾽ἄντικρύς τινα παρθένον ἀνδρὸς ἄκληρον | ≈Od. 11.490! |
| σωτῆρ᾽αἰνομόρων τεξέμεν υἷα βροτῶν, | |
| οὐ βροτὸν ὄντα μόνον δίχ᾽ἁμαρτάδος ἐσθλὸν ἁπάσης | |
| τῆς τε δικαιοσύνης ἐννομίης τε πλέον, | |
| ἀλλὰ καὶ οὐρανίης γενέθλης φίτυμα θέειον | Hom. |
| καὶ θεὸν ἀενάως ἐκγεγαῶτα θεοῦ. | Gr.Naz. 1004.8 al. |
| ὃς τόδε πᾶν μόνος αὐτουργὸς κτίσεν ἠδὲ κυβερνᾷ | |
| πνεύματι σύν θ᾽ἁγίῳ σύν τε γονῆϊ φίλῳ. | |
| κεῖνος ἐπ᾽ἀνδρογενῆ φύσιν εἱμένος ἠδέ τι σῶμα | |
| θραυστὸν καὶ τρωτὸν θνητὸν ἐόν τε λαβών, | |
| δεινὰ σιδηρείοις ἤμελλεν ἐπήορος ἥλοις | Nonn. par. 19.92 |
| σφίγγεσθ᾽οὓς ταρσοὺς ἐν ξύλῳ ἅς τε χέρας | |
| κἀνταῦθ᾽ἀλλάξαι ζωῆς μόρον, ἠΰτ᾽ἄρ ἡμεῖς | |
| τοῖς τοῦ ζῆν κεῖνος τοὔσχατόν ἐστι τέλος. | |
| καὶ τάφον εἰσελθεῖν νεκυοπρεπῆ, ἔνδοθι κόλπων | Call. hymn. Del. 42 |
| γῆς, ἀμόρων πάντων τοῦ βιότοιο δίκην. | |

4. Johannes **Posselius**, *Evangelia dominicorum et festorum dierum*, **Wittenberg 1563**, c. B2r-v

*Dominica secunda adventus, Evangelium Lucae XXI*

| | |
|---|---|
| Πολλὰ ἐν ὑψορόφῳ σημεῖα ὕπερθεν Ὀλύμπῳ | |
| βλέψετε, ὦ θνητοί, ποτε καὶ παντοῖα γενέσθαι. | |
| λαμπρὸν ἐπεὶ φάος ἐκλείψει κλυτοῦ ἠελίοιο | Hom. |
| καὶ δίας μήνης τηλαυγέος αἴγλη ὀλεῖται. | HHomLun 8 |
| καιόμενοί τε κομῆται, ἄστρα τε λαμπετόωντα | Hes. th. 110, 382 |
| τῆς κρίσεως νεάτης θνητοῖς σημεῖον ἔσονται. | NT Luc. 21.25 |
| … | |
| παντοίων ἀνέμων τότε καὶ θύουσιν ἀῆται. | Hes. op. 621 |
| σμερδαλέον πνοιῆς μυκήσεται αἶα καὶ ὕλη. | Hes. op. 508 |
| κύματα καὶ τροφόεντ᾽ἀνορούσει ἶσα ὄρεσσιν, | Od. 3.290 |
| ἀκρόταται κορυφαὶ μεγάλου σεύσονται Ὀλύμπου. | Hom. |
| πᾶσα φύσις καὶ κτίσμα ὅλου κόσμοιο τρομήσει. | |

5. Martinus **Crusius**, *Poëmatum Graecorum libri duo*, **Basel 1567**, p. 20

*Evangelia Dominicalia: Signa extremi iudicii praenuncia*

| | | |
|---|---|---|
| ἔσται σήματ᾽ἀν᾽ἠελίου πολυπάμφαον αἴγλην | AP 9.591.3 | |
| μήνῃ τ᾽ἐν λαμπρᾷ ἄστρασί τ᾽ἠγαθέοις· | | |
| εὐρείας τ᾽ἐπὶ γῆς ἐθνέων συνοχὴ φρενοδινὴς | NT Luc.21.25 | Nonn. par. 12.109 |
| ἔν τε βαρυκραδίῳ πενθάδ᾽ἀμηχανίῃ, | | |
| δεινῶς βομβούσης μάλ᾽ἐριγδούποιο θαλάσσης | Opp. hal. 1.75 | |
| δεινά τ᾽ἀμαιμακέτων μαινομένων ῥοθίων, | Ap. Rhod. 3.1232 | Musae. 242 |
| ταρβεύντων γε βροτῶν μερόπων καὶ ἀποψυχόντων | NT Luc. 21.26 | |
| δεινοῦ ἕκητι φόβου προσδοκίας τε κακῶν. | | |
| ὅσσα θεοῦ βουλῇσιν ἐπὶ χθόνα πουλυβότειραν | Hom. | |
| κόσμον ἀπειρέσιόν τ᾽ἐστὶν ἐπερχόμενα· | Or.Sib. 1.204 | |
| οὐράνιαι γάρ τοι δυνάμεις ἐλελιχθήσονται | | |
| καὶ βηλοῦ κάρτος θεσπεσίοιο τρέσει. | Il. 1.591 | |

6. Heinrich **Mylius**, *Historia Passionis Domini Nostri Iesu Christi* (1800+vv),**Leipzig 1569**,c. F3r

(Crucifixio Christi)

| | |
|---|---|
| ταῦτα ἰδὼν στράτος ἀντίβιος καὶ ἀγριόθυμος | |
| αἶψα ὑπέστη ἔχων ἐν στήθεσι νηλεὲς ἦτορ, | Il. 9. 497 |
| εἰς μόρον Ἰησοῦν παλάμῃσιν ἀφείδεσιν εἷλεν, | Nonn. par. 7.112 |
| καὶ ἐνὶ τῷ χώρῳ, στόμα ὄν ῥα Σύρων καλέεσκε | Nonn. par. 19.91 |
| Γολγαθά, σταύρωσεν Χριστόν, παλάμας τε πόδας τε | |
| αὐτοῦ εἰς σταυρὸν δεσμοῖς ἔσφιγξεν ἀναιδῆ, | Nonn. par. 18.189 |
| ἀμφοτέρας παλάμας σκληροῖς καὶ οὔτασε γόμφοις, | |
| αὐτοῦ ὁμοπλεκέας κέντροις ἔτρηψε πόδας τε. | Nonn. par. 19.97 |
| καὶ δύο νυκτίλοχοι ἄλλοι ληΐστορες ἄνδρες | Nonn. par. 19.98 |
| ξὺν τῷ Ἰησοῦ χρόνῳ ἐν σταυροῦνται ἐκείνῳ… | |
| ... | |
| ὡς φάτο· τὴν κεφαλὴν ἔκλινε καὶ εἴκαθε πότμῳ. | Nonn. par. 19.160 |
| αὐτὰρ ἐν εὐπήκτῳ νάῳ τὸ πέτασμα τάχιστα | |
| ἐσχίσθη δύο εἰς τὰ μέρη. καὶ πάμπαν ἄνωθεν | |
| σμερδαλέον τε τρόμησεν ὅλη γαίη τε ἐσείσθη, | Q.Sm. 1.708 |
| ἠλίβατοι πέτραι καὶ ἐσχίσθησαν ὁμοίως, | Hom. |
| σμερδαλέος σεισμὸς νεκύων κευθμῶνας ἄνῳξε. | Or. Sib. 8.413 |
| πολλά τε τῶν ἁγίων νεκύων τότε σώματ᾽ἔγειρεν, | |
| καὶ σάφα ἐκ τύμβων παλινάγρετα σώματα φωτῶν | Nonn. par. 5.82 |
| εἰς πτολίεθρον ἔβαν εὐδείελον Ἱροσολύμων, | Nonn. par. passim |
| καὶ πολλοῖς ἐφάνοντο βροτοῖς ἐκεῖ ἔνθα καὶ ἔνθα. | |

7. Michael **Retellius**, *Poëmatum Graecorum libri duo*, **Gdansk 1571**, c. 41v

(Hymnus in Christi Resurrectionem, 160vv)

ἀγάλλεται αἶα πελώρη — Hes. th. 159 al.
ἧς πρότερον τῇ σαρκὶ παθὼν σὺ ἐνανθρώπησας
σταυρωθείς, πληγαῖς μογερῶν τυφθεὶς ὑπὲρ ἡμῶν,
πόλλ᾽ἔπαθες κακὰ δεινὰ δαμεὶς ὀδύναισι πικρῇσι·
ξαινόμενον μάστιξί σε χλεύασσαν στρατιῶται,
σοὶ παλάμαις ἀνάγνοισι πελιδνὰ ῥαπίσματα δῶκαν,
ὥστε ῥέειν σου πορφύρεον μάλα αἷμα χαμάζε.
πῆξαν δ᾽ἐν στέρνῳ λόγχην σοι χειρὶ παχείῃ·
ἡλίου ἐκλείπει σέλας ὅ,ττι πρὶν ἔσκε φαεινὸν,
ῥήξατο σεῖο πάθημα πέτρας, εἴλυμά τε ναοῦ.
εἷλε βροτοὺς πάντας θάμβος τὰ μὲν εἰσορόωντας. — Il. 3.342
ἀλλὰ πάθος τόδε σοὶ νίκη καὶ κῦδος ἔγεντο
εὔσημον, θάνατός σου κύδιμος ἔσκε θρίαμβος.
ἣν ὀλοὴν μοῖραν μογερῶν σὰρξ πᾶσα δέδοικε, — Hom.
σεῖο κράτος κτείνεσκε βιαίως κῆρα μέλαιναν. — Hom.
εἰς ἀΐδαο πύλας κατέβης φοβερὸς στονοέσσας. — Hom.

8. Matthaeus **Gothus**, *Historiae vitae et doctrinae Iesu Christi* (5400+ vv), **Basel 1573**, pp. 106-107

(Crucifixio Christi)

εἰς χῶρον κρανίου δὲ φερώνυμον ἄμμιγα Χριστῷ
ἄνδρε δύω κομίσαντο κακοπραγέας κτασιάνδρους.
πῶσιν διψαλέῳ δὲ χοληκρατὲς ὤρεγον ὄξος
κ᾽ οἶνον σμυρνισθέντα ποτὸν βαρύπικρον ἔκιρναν.
καὶ μὶν ἐπ᾽ ὀρθωθέντι συνήορον αὐτόθι πρέμνῳ
σταυροτύπῳ δήσαντο σιδηρογόνων διὰ κέντρων
αἰλινὰ πειράμενοι παλάμας ἑκάτερθε ταθείσας. — Nonn. par. 20.126
νέρθεν ὁμοζυγέας πόδας ἄζυγος ἧλος ἐτρύπη. — Nonn. par. 19.177
σταυρὸς δ᾽ Ἰησοῦ μέσος ἵστατο ψυχοραϊστῶν
ὑψικρεμασθέντων ἀνδρῶν, καὶ ἀάσχετον ἤδη
ἔδραμεν ἅρμα θοὸν τριτάτης θανατηφόρον ὥρης. — Nonn. par. 19.67
δασπλήτων δ᾽ ὑπὲρ αὐτὸς ἑῶν λιτάνευσε φονήων — Nonn. par. 19.129
ὑψιτόκον γενέτην, θέμιδος ὄπιν οὐκ ἀλεγόντων. — Il. 16.388; Hes. op. 251
καὶ Πιλάτος καλάμου νοερῷ τετυπωμένον ὁλκῷ — Nonn. par. 19.108
γράμματα τρισσόγλωσσα φορούμενον εἰν ἑνὶ θεσμῷ — Nonn. par. 3.27, 6.166
Χριστοῦ τίτλον ὕπερθεν ἐπηώρησε καρήνου. — Nonn. Dion. 4.456 al.
καὶ τότε κοσμοσόοιο φονόχραντοι στρατιῶται
λυτροφόρου δάσσαντο μετ᾽ ἀλλήλοισι χιτῶνας.
καὶ πανυφάντου κλῆρον ὑπὲρ πέπλοιο βάλοντο.

## 9. Theodosius **Fabricius**, *Paean de Iesu Christo vero* (241vv), **Wittenberg 1573** (de Christi Passione)

αὐτὸς ὑπερζαθέοιο θεοῦ σωσίμβροτος υἱὸς — cf. Hsch. σ 180
πάσχει ἄλγεα πολλὰ λιπαυγέος ἐντὸς ἰαθμοῦ — Od. 13.310, 16.189 Nonn. par. 8.2 Hsch. ι 15
σὺν θνητοῖσι γονεῦσιν ὑπαὶ κονίῃσι τανυσθείς. — QS
πάντεσσίν τ᾽ἐπίχαρμα ἐὼν καὶ ἄθυρμα βροτοῖσι — Theocr. 2.20 + LXX
σταυρῷ γομφωθεὶς μάλ᾽ἀπηνέα πότμον ἐπισπεῖ — Hom.
εἵνεκ᾽ἀτασθαλίης χθονίων ὀλεσήνορος ἀνδρῶν. — Hes. th. 516 Nonn. D. 28.273 Par. 10.124
Πήματα θειογόνοις τοιαῦτα δὲ πάντα ταλάσσει — Il. 15.164
ἐν βιότητι ὁμῶς πεπρωμένον ἐστὶν ἅπασι.
χρὴ Χριστὸν φιλέοντα φιλεῖν τὰ παθήματα Χριστοῦ — Hes. op. 353
παντοίῃς ὀδύνῃσι παρειμένοι ἠδὲ μόγοισι — Opp. cyn. 2.267
ζωῆς εἰς τὸ θέατρον ἐλεύσομεν ἀφθάρτοιο.
κείνη ὁδὸς γὰρ ἔφυ πρὸς ἀτέρμονα αἰθέρος αὐλήν, — Nonn. par. 3.17
ταύτῃ καὶ πατέρων κλυτὸς ἐνθεόλαος ὅμιλος — (cf. J. Martin, Κατήχησις 1573, γ8v)
εἰς βίον αἰὲν ἐόντα θεόσσυτον ἴχνος ἔπηξεν. — Nonn. par. 14.23

## 10. Paul **Jung**,*Historia Passionis,Mortis,Sepulturae et Resurrectionis*(1000vv),**Wittenberg 1574** (Crucifixio Christi)

ἤιε οὖν Χριστὸς μερόπων πολὺ φίλτατος ἀνήρ, — Hom. / Gr. Naz. AP 8.142.6
τῶν ξυμπασάων ἔμμορος ἀμπλακιῶν. — Od. 8.480
ἤιε εἰσόκ᾽ἵκανε φατιζομένοιο κρανίου — Nonn. Par. 19.89
χῶρον καὶ κώλων αἰσχρὸν ἐόντα τόπον.
αὐτόθι τετράπλευρον ἔφυ δόρυ ὑψόθι γαίης, — Nonn. Par. 19.92
καί μιν σταυρόμεναι ἐμμεμαῶτες ἔσαν. — Il. 20.468
καὶ δύω ἀνθρώπω, θνητὼ σταυροῦσι σὺν αὐτῷ
λυτρωτῇ μερόπων κοιράνῳ ἡμετέρῳ. — Nonn. Par. 20.131
ἀλλὰ φίλον Χριστὸν μέσον ἔστησαν γλυκύθυμον,
υἱέα μουνογενῆ πατρὸς ἐπουρανίου. — Nonn Par. 3.82 Gr. Naz. 470.14
οὐτιδάνοις οὕτως μιχθεὶς ἄνδρεσσιν ἀλιτροῖς — ≈Theogn. 1.377
ᾤλετο σὺν χθονίοις νυκτιλόχοισι βροτοῖς. — Nonn. Par. 19.99

## 11. Marcus **Simon**, *Historia Passionis Domini* ..., **Wittenberg 1588**, c. D3v *Resurrectio Christi* (57vv)

ἶφι γὰρ ἐκ νεκρῶν σταυρώθεις Χριστὸς ἀνέστη
αἰρόμενος κεφαλήν. τύμβοιο θύρα πυκινή περ
οὐκ ἀέκοντα βίηφι δυνήσατό μιν κατερύκειν, — Od. 1.403
οὐδὲ στίχαι ἀνδρῶν δόλιχ᾽ἔγχεα χερσὶν ἐχόντων. — Hom.! Il. 4.533
αὐτὰρ δυσμενέων πάντων ἀέκητι ἀνέστη. — Od. 6.240
ἐξ ἀρχῆς ἀπόλωλε κακὸν μόρον, οὐδέ τις ἡμῖν — Od. 1.166
θαλπωρή, εἴπέρ τις ἐπιχθονίων κατάλεξε — Od. 1.167
κεῖνον ἀνιστάναι, ἐπ᾽ἀΐστος [ἄριστος] δὴ περὶ πάντων
οἴχετο ἀνθρώπων· θανάτου δὲ σιδήρεα λύσας
δέσματα ἀντίθεον κεφαλὴν καὶ ὄμματα καλὰ — Od. 1.208
εἰς αἰειγενέτην βίοτον μάλα ἶφι ἄειρε. — Hom.!
καὶ θανάτ᾽ἀθάνατος νῦν ἤματα πάντα ἀνάσσει, — Hom.
καὶ μεγάλῃ δυνάμει δάμνησι φθισίμβροτον ἐχθρόν… — Il. 13.339

12. Lorenz **Rhodoman**, *Poësis Christiana Palaestinae* (3590vv), **Frankfurt 1589**, pp. 231-232

VII, vv. 118-136 *Flagellatio et crucifixio*

| | |
|---|---|
| Ὅνπερ ὑποτρομέων κρατερὸς πρόμος, ὕβρεϊ πολλῇ | ≈ Q.S. 3.12 |
| ἀμφιέπων θεὸν ἄνδρα καὶ ὀξυόδουσιν ἱμασθλαῖς, | Nonn. Dion. 40.484 |
| σταυρῷ λωβήεντι μετήορον ἧκε παγῆναι, | Ap. Rhod. 3.801/Triph. 261 |
| χεῖρέ τε καὶ σφυρὰ δισσὰ πεπαρμένον ὀξέϊ κέντρῳ, | Arg. Orph. 211 Nonn. D. 22.314+5.511 |
| *αἰχμητῶν ὑπὸ χερσί*, δυοῖν μεσσηγὺ κακουργοῖν. | *[Archil. fr. 24.13 W.]* ≈ Nonn. D. 5.160 |
| Γαῖα δὲ παμμήτειρα καὶ οὐρανὸς εὐρὺς ὕπερθε | H.Hom. 30.1 Hom. |
| συμπάσχοντε φάνησαν ἑῷ κτιστῆρι παθόντι. | *inscr.* |
| ἠέλιος γὰρ κρύψεν ἄφαρ τερψίμβροτον αἴγλην, | Nonn. Dion. 20.334 |
| τρεῖς ὥρας, καὶ πᾶσαν ἀνὰ χθόνα πέπταθ᾽ὁμίχλη· | |
| παλλομένη δ᾽ὑπὸ γαῖα βαθυρρίζους σχίσε πέτρας· | Gr. Naz. 490.14 Hsch. β 68 |
| θεσπεσίου δὲ πέτασμα διάνδιχα ῥήγνυτο νηοῦ· | Gr. Naz. 490.13 |
| τύμβοι δ᾽ἠνοίγοντο, καὶ ἔμπνοος ἐκτὸς ὄρουεν | |
| ἀρχεγόνων κλυτὸς ἐσμός, ἑοῦ μετ᾽ἔγερσιν ἄνακτος. | |
| Ὃς τότ᾽ἐὼν γαίης τε μεταίχμιος ἠδέ τ᾽Ὀλύμπου | |
| σεμνοὺς ἐξεπέτασσε βραχίονας, οἷον ἅπαντας | ≈ Or. Sib. 1.372 ἐκπετάσῃ χεῖρας καὶ πάντα μετρήσῃ |
| ἀμφιπεριπτύξων καθ᾽ὅλην χθόνα· καὶ πάθος ἔτλη | |
| πάμπαν ἀνεξικάκως· ἠρήσατο δ᾽ἐσθλὰ φονευταῖς, | |
| οἵ ῥά ἑ κερτομίῃσιν ἐλεγχίστῃσιν ἄμυσσον· | |
| πίνειν δ᾽αἰτίζοντι χολημιγὲς ὄξος ὄπαζον. | |
| Αὐτὰρ ὁ λαοσσόον τελέσας καὶ δριμὺν ἄεθλον, | Hes. th. 951, 994 |
| πνεῦμα θεῷ παρέθηκε, καὶ ἄπνοος ἐκ φρενὸς ἁγνῆς | ≈Nonn. par. 5.19 |
| ἔβλυσεν αἰχμάζοντι λύτρον καὶ φαίδιμον ὕδωρ. | Nonn. |
| ὡς θάνεν αἰσχίστοιο θεοῦ πάις ἄλγεσι πότμου! | |

## 13.Tito Prospero **Martinengo**, *Poemata diversa cum Graeca tum Latina*, **Roma 1582** (**Roma 1590**$^{2}$)

(Hymnus ad Christum, 712vv)

| | |
|---|---|
| καὶ τότε καγχαλόων ἀμνὸν λάβεν ὄχλος ἀλάστωρ | Chr. Pat. 659 |
| ἀργινόεντα θεοῖο, καὶ εἰς πάγον ἄστεος ἐγγύς, | Od. 17.205 |
| ὥστε κυνῶν ὀρυμαγδὸς ἀπήλασεν ὑλακομώρων, | Il. 10.185-186 Od. 14.29 |
| σταυρὸν ἐπωμάδιον νίκης ἅπερ ὅπλον ἔχοντα. | Rom. Mel. cant. dub. 77.3.1 |
| ἦχί μιν ἐξετάνυσσαν ἐπ᾽ἰκρίῳ ἀλγινόεντι | Nonn. par. 19.93 |
| παγχάλκοις ἥλοισι χέρας μὲν ὕπερθε κεραίῳ, | |
| αὐτὰρ ἔνερθε πόδας πήξας χαλκήρεσι κέντροις. | |
| ξὺν δέ οἱ ἐν σκολόπεσσι δύω ληΐστορε φῶτε | ≈ Od. 15.427 |
| δουρατέοις ἐνέπηχθεν ἐπηόρω ἔνθα καὶ ἔνθα, | |
| ὥς κεν ἐπίρρητος πᾶσι μυσαρός τε φανείη | |
| ὁ τριφίλητος ἄναξ καὶ σωτὴρ πάγκλυτος ἡμέων | Theocr. 15.86 (de Adone) Chr. Pat. 1646 |
| κείμενος ἐν μέσσῳ φηλητέων, ὡς πρόμος αὐτῶν. | Hymn. Hom. Herm. |
| καὶ τότε τωθάζεσκε βέβηλος Χριστὸν ὅμιλος | |
| δείν᾽ἐπιμυχθίζων, καὶ δέννοις ἰοβόλοισιν | Gr. Naz. 1011.1 Lycophr. 777 |
| ἄκριτα πολλὰ φλύων καὶ ἀεικέα ψευδέι γλώσσῃ. | Od. 8.505 |
| αὐτὰρ ὅ γ᾽ὑβριστῶν τῶνδ᾽οὐκ ἐμπάζετο θυμῷ | Hom. |
| οὐδὲ καθήπτοντο φρενὸς αὐτοῦ πικραὶ ἐνιπαὶ | |
| ἀρνυμένοιο βροτῶν μογερὸν γένος, αὐτὰρ ἐπειδὴ | Od. 1.5 Arat. 179 |
| ἦχι διωλένιος τρηχεῖ ἐπὶ δουρὶ κρεμάσθη | Arat. 202 (de Andromeda) |
| χείρεσι πεπταμέναις, ἵνα πηχύνειεν ἀλιτροὺς | Arat. 204 Nonn. |
| αἰώρημ᾽οἰκτρὸν πεπεδημένος ἀργαλέῃσιν | ≈ Eur. suppl. 1047 (Euadne) Opp. cyn. 2.345 |
| γυῖα πέδαις, ἀδινῇ τερσαίνετο χείλεα δίψῃ, | Nonn. Dion. 16.251 |
| οἷάπερ ἀγχιθανὴς θανάτου κρατέρ᾽ἄλγεα πάσχων, | Nonn. par. 19.159 Hom. |
| καὶ χροὸς ἀζαλέοιο χέας τὸ θεόρρυτον αἷμα | Nonn. Dion. 26.116 Nonn. |
| ῥύσιον ἀμπλακιῶν ἀκεσίμβροτον ἡμετεράων. | Gr. Naz. 1230.6 Lith. Orph. 8 |
| ... | |
| οὐδέ τι σιγήσω τὰ τεράατα, ὅσσά περ αὐτοῦ | Q.S. |
| πάσχοντος συνέβη πολυθαμβέα, ἠδὲ θανόντος. | Nonn. |
| δὴ τότε γὰρ μέσσῳ γένετ᾽ἤματι νὺξ ἐρεβεννή· | Or. Sib. 1.375, 8.305 Hom. |
| ἠέλιος γὰρ ἑὴν χαροπὴν ἀπέκρυψεν ὀπωπήν, | Opp. cyn. 1.241 |
| οὐδὲ μὲν οὐδ᾽ἐτάλασσεν ἀποθνήσκοντα θεᾶσθαι | |
| οἰκτίστῳ θανάτῳ θεὸν ἄμβροτον, ὅς μιν ἔτευξεν | Od. 11.412 |
| φαιδραῖς ἀκτίνεσσι διαυγέα. ἐκ δὲ κεάσθη | Opp. hal. 4.351 Hom. |
| εὐρὺ πέτασμα ῥαγὲν νηοῦ τότε θεσπεσίοιο, | Gr. Naz. 490.13 |
| γαῖά τε παλλομένη σείσθη, καὶ λᾶες ἀτειρεῖς, | Gr. Naz. 490.14 |
| στύφλά τε πετράων, ὀρέων ῥία τ᾽ἐξεάγησαν | ≈ Aesch. Prom. 748 Od. 9.191 |
| ὑλήεντα διαπρό, καὶ αἰπήεντες ἔναυλοι | |
| ὑψηλοὶ σκόπελοί τε παρ᾽ἠϊόνεσσι θαλάσσης. | Musae. 234 |

14. Nicolaus **Reusner**, *Operum Nicolai Reusneri...* tomus II, **Jena 1592**, pp. 110-112
*Triumphus Iesu Christi Regis* (fragm.: 56vv)

Χριστὸν ἄνακτα μέγιστον ἀείσομαι, ὃς μάλα πολλὰ    HHom. Od. 1.1-2
πλάγχθη, ἐπεὶ στυγερῆς θνητοὺς ἐρρύσατο μοίρας,    Ap.Rhod. 1.6
αὐτῶν οἵ σφετερῇσιν ἀτασθαλίῃσιν ὄλοντο.    Od. 1.7
πολλὰ δὲ μοχθήσας καὶ ἐπισπὼν κῆρα μέλαιναν    Hom.+QS 5.500
ἠοῖ σὺν τριτάτῃ ἀπεδωκὼς νόστιμον ἦμαρ    Ap.Rhod. 4.244 Od. 1.9
ἐκ νεκύων ἀνόρουσε μετάρσιος, ὀψὲ δὲ μακρὸν    Gr. Naz./Nonn.
οὐρανὸν εἰσανέβη, πατρὸς εἰς ἕδος ἀθανάτοιο,    Arat. 32 Hes. th. 262
ἀρνύμενος ψυχὰς ἀνθρώπων, εἶό τε νόστον.    Od.1.5
τῶν ἁμοθέν γε θεός, θεοῦ υἱεῦ, εἰπὲ καὶ ἡμῖν.    Od. 1.10
…    (cf. Camerarii Capita, bb4r = A3v, v. 48: ἀρνύμενος ψυχὰς μερόπων ζωῆς τε χατίζων / ἡμετέρας)
καὶ γὰρ ὑπερβασιῶν σφέων ἄχθος ἐπωμαδὸν αἴρων    Gr. Naz. 988.9
τλῆσεν ἀνασχόμενος κατὰ μὲν θυμόν τε δέμας τε    ≈Il. 3.362
ἄλγεα νήριτα καὶ στοναχάς· ἐν ἀπήμονι τρωθείς    Hom. Ap. Rhod. 3.1288
σταυρῷ καὶ πικρῶς δεδαϊγμένος ὀξέι χαλκῷ.    Hom.
ῥυστασθεὶς δέ τ᾽ἀεικελίως καὶ δεινὰ πεπονθὼς    Od. 16.109, 20.319
ἐξέχεε ψυχὴν ἕθεν εἰς μόρον αἰνὸν ἑκόντι.    Gr. Naz./QS
…
ἐξαπίνης πᾶσαι πόλεως σκιόωντο ἀγειαί.    Od.
νὺξ γένετο σκοτόεσσα πελώριος ἤματι μέσσῳ    Or. Sib. 1.375
ἀρχαῖόν τε χάος λυπρὴν ἐπεβήσατο χώραν.
ἠνὶ δὲ κινυμένης σεισμὸς τάχα γείνεται αἴης
σφόδρα, καὶ αἰφνιδίως ποταμοὶ στονάχησαν ὄρη τε,    Mosch. epit. Bion. 1-3
πένθος δὲ σπιλάδας τε καὶ εἴλυμα ῥήσατο ναοῦ.    Od. 5.405, 6.179!
ταῦτα βλέπων μακρὰν Διονύσιος ἔξοχος ἄλλων
ἔννεπεν· ἢ κόσμος τελετὴν καὶ πτῶσιν ἀπειλεῖ    (an τελευτήν voluit?)
ἤ τι θεὸς φύσεως πάσχει κακὸν ἔσχατον αὐτός.    Or. Sib. 3.486

15.Jonas **Latomus**, *Precatio Christi ad Deum Patrem suum coelestem* (88vv),**Rostock 1593**, A3v
(Christus ad Deum Omnipotentem)

Νῦν αὖ παῖδ᾽ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν·    Od. 5.18
ὄψεαι, αἴ κ᾽ἐθέλῃσθα, πάτερ φίλε, σῷ δ᾽ἐνὶ θυμῷ,    Od. 24.511
οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν,    Il. 24.365
σχέτλιοι, οἳ ἐπεὶ οὔτι νοήμονες οὐδὲ δίκαιοι,    Od. 2.282, 3.133
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,    Od. 22.39
οἵ τ᾽εὖ μὲν βάζουσι, κακῶς δ᾽ὄπιθεν φρονέουσι·    Od. 18.168
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων.    Od. 18.136

16. Frédéric **Jamot**, *Varia poëmata Graeca et Latina*, **Antwerp 1593**, pp. 50-54
(Hymnus in Resurrectionem, 60vv)

καὶ γὰρ πολυχανδέος ἐγγὺς ἰοῦσαι    Theocr./QS/Nonn. Nonn. par. 11.74
σήματος, ἀγχίστοις κεκυλισμένον εἶδον ὀπωπαῖς    Nonn. par. 20.6 Opp./Nonn.
πῶμα τάφου βαρύφορτον, ἀκινήτου τινὸς ἄχθους    Nonn. par. 20.7
ἀντίτυπον μίμημα, καὶ ἀγχιπόροισι πεδίλοις    Nonn./Or.Sib. ≈Nonn. par. 11.102
δυσάμεναι κενεῶνας ἀμειδήτοιο βερέθρου    Arg. Orph. 967
ἥμενον εἰσορόωντο νέον παρὰ δεξιὰ τύμβου,
μίτρης δαιδαλέης κεκαλυμμένον εἵματι λευκῷ.    ≈Nonn. Dion. 16.99